eul_wid: ueg-ab

*Καλλίνικος ὁ Πετραῖος* · Callinicus of Petra

# On the Origins of Rome

## *Ἀποσπάσματα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Συναγωγή* Collection

3a,281,F 1 EXC. CODD. Laur. 57, 12 (A); VATIC. 1354 (B): Καλλινίκου εἰς τὰ Πάτρια Ῥώμης. (a) οὔτε ἡ καθ’ ὑμᾶς γῆ πρὸς ἕτερον οὐδὲν εὐαρμόστως εἶχε πλὴν βασιλείας οὔτε ἡ βασιλεία πρὸς ἄλλο χωρίον οὐδὲν πλὴν ταύτης ἐχώρησεν. ἡ δὲ τῶν φόρων σύνταξις οὔθ’ ὑμετέρα πλεονεξία γίγνεται οὔτε τῶν διδόντων ζημία, ἀλλ’ εἰς τὸ μάχιμον γένος δαπανωμένη δι’ ἐκείνων πάλιν εἰς τοὺς διδόντας ἐπάνεισιν, ὥστε δανείσμασι προσεοικέναι τὸ διδόμενον μᾶλλον ἢ φόρων ἀπαγωγή. (b) Ἀλέξανδρος μὲν γὰρ οὐδὲν τῶν περὶ Κλέαρχον σεμνότερον διεπράξατο, ἀνδρῶν κρατήσας ἀνανδρίαι συντρόφων, ἐκκλίνας τοὺς εἰδότας νικᾶν, πρὸς δὲ Πέρσας ἀγωνισάμενος τοὺς παιδευθέντας ἡττᾶσθαι, ταὐτὸν παθὼν τοῖς ὄναρ εὐτυχοῦσιν, ἐν τῆι τῆς εὐτυχίας ἀκμῆι καταλύσας αὐτὴν καὶ τοσοῦτον ἄρξας τὸν ἅπαντα χρόνον ὅσος ὑμῖν οὐκ ἀρκεῖ τὴν ὑμετέραν ἐπελθεῖν. (c) τοῖς μὲν οὖν πολλοῖς εἴρηται τυφλῶν εἶναι ζημίαν τὸ μὴ τὸν ἥλιον βλέπειν· ἐγὼ δ’ ἂν ἐπὶ τῶν θεωμένων φήσαιμι τὴν ἴσην εἶναι ζημίαν, εἴ τις μὴ ταύτην θεάσαιτο. καὶ τῶν παρελθόντων εἰς φῶς ὅσοι μὲν ἀπείρατοι τῆς ὑμετέρας ἔμειναν, νόθον τινὰ βίον ὡς εἰπεῖν διαντλοῦσιν, ὅσοι δὲ ἐν πείραι γεγένηνται, γνήσιοι τοῦ βίου μέτοχοι, καὶ πλέον τῶν ἑτέρων διαλλάττουσιν ἢ τῶν βεβήλων οἱ τελεσθέντες.

3a,281,F 2 HIERON. Comm. i. Dan. 11, 21 ff.: Ptolemaeum autem hic non Epiphanem significat, qui quintus regnavit in Aegypto, sed Ptolemaeum Philometorem, filium Cleopatrae sororis Antiochi, cuius hic avunculus fuit. et cum post mortem Cleopatrae Eulaius eunuchus nutritius Philometoris et Lenaeus Aegyptum regerent et repeterent Syriam, quam Antiochus fraude occupaverat, ortum est inter avunculum et puerum Ptolemaeum praelium; cumque inter Pelusium et montem Casium praelium comisissent, victi sunt duces Ptolemaei. porro Antiochus parcens puero et amicitias simulans ascendit Memphin, et ibi ex more Aegypti regnum accipiens puerique rebus se providere dicens cum modico populo omnem Aegyptum subiugavit sibi. et abundantes atque uberrimas ingressus est civitates, fecitque quae non fecerunt patres eius et patres patrum illius: nullus enim regum Syriae ita vastavit Aegyptum; et omnes eorum divitias dissipavit, et tam callidus fuit ut prudentes cogitationes eorum qui duces pueri erant sua fraude subverteret. haec Porphyrius (260 F 49a) sequens Suctorium sermone latissimo prosecutus est, quae nos brevi compendio diximus.